# MEMORIAM

# IOANNIS AUGUSTI ERNESTII

## D. XX. IANUAR. A. MDCCCLIX

HOR. X

SOLEMNI ORATIONE

## IN AUDITORIO IURIDICO

CELEBRANDAM INDICIT

ANTONIUS WESTERMANN

ORD. PHILOS. H. T. DECANUS.

---

*Praemissa est Themistoclis epistolarum quae feruntur denuo recensitarum pars tertia.*

---

LIPSIAE

PROSTAT APUD A. EDELMANNUM,

BIBLIOPOLAM UNIVERSITATIS.

ιε΄.

*Αὐτολύκῳ.* Ἥσσον, ὦ Αὐτόλυκε, παρηγορεῖν ἄν σε βουλοίμην ἡμᾶς ἢ τἀληθῆ λέγειν, σὺ δὲ ἐπιστέλλων σφόδρα ἤδη μεταμέλειν Ἀθηναίοις τῆς ἡμετέρας φυγῆς παρηγορεῖν ἔμοιγε δοκεῖς μᾶλλον ἢ τἀληθῆ λέγειν. οἵ γε γὰρ τὸ πλῆθος δι᾽ ἡμᾶς διαβάλλοντες ἔτι ἰσχύουσι, καὶ καιρὸς οὐδεὶς καταλαμβάνοι, ἐν ᾧ ἀχρεῖοι ἂν ἐν τῇ πόλει οἱ κακοὶ εἶεν καὶ ἅμα αἴσθησιν παρέχοντες ὅτι κατειργάσαντο τοὺς ἀμείνους ἐκπεσεῖν. ἀλλὰ νῦν τῇ κοινῇ εὐπραγίᾳ ἐπικαλυπτόμενοι ἀφανέστερον ἔχουσι τὸ ἀχρεῖον, καὶ μενέτω τὰ ἀποκρύπτοντα αὐτούς, ἐφ᾽ ᾧ τε καὶ ἡ πόλις εὐπραγοίη. ἢ γὰρ ἂν ἡμᾶς ἐπιεικῶς τὰ ἐν Ἀθήναις ἀγαθὰ καὶ δι᾽ ἀκοῆς εὐφραίνοι, καὶ εἰ δοκῇ μὴ ὑπὲρ ἡμῶν εἶναι ἐπιδεδωκέναι αὐτὰ ἐξ ὅτου ἐφύγομεν· ἴσως γὰρ ἤδη καὶ ταῦτα ταῖς ἡμετέραις ἕπεται ἀρχαῖς καὶ εὖ κατασταθέντα εὖ προχωρεῖ, καὶ ἡμεῖς ἴσως ἂν ἑαυτοὺς δικαίως αἰτῳίμεθα ἀνοίξαντας ὁδὸν τοῖς πράγμασιν εὐρεῖαν, δι᾽ ἧς ἂν οὐκέτι χρῄζοι τοῦ ἄγοντος. σὺ δέ, ὦ Αὐτόλυκε, μὴ ὡς αὐτὸς ἐθέλεις μεταμέλεσθαι Ἀθηναίους, ἀλλ᾽ ὡς αὐτοὶ ἔχουσιν ἐπίστελλε ἡμῖν. ἔχουσι δ᾽. οἶμαι, καθὰ ἂν αὐτοὺς τρέπωσιν οἱ ἀεὶ παρόντες, οἳ φανερώτεροι ἂν ἦσαν τῆς κακίας μὴ φυγόντων ἡμῶν.

ιϛ΄.

*Ἀλκέτᾳ.* Εἰώθεις, ὦ Ἀλκέτα, ἅμα τὴν ἐμὴν ὀδυρόμενος φυγὴν μακαρίσαι τὴν Παυσανίου τύχην, καὶ πολλάκις ἔγραψας σύ γε ὡς

---

XV. 3. *δοκεῖς* r, *δοκεῖν* A. || 4. *γε* correxi, *τε* Ar. || *ἡμᾶς* r, *ὑμᾶς* A. || *ἔτι ἰσχύουσι* Anonymus in marg. exempli ed. Rom., quod est in bibl. acad. Lips., *ἐπισχύουσι* Ar. || 5. *καταλαμβάνοι* correxi, *καταλαμβάνει* Ar. || 7. *ἐπικαλυπτόμενοι* A. *ἐπικαμπτόμενοι* r. || 8. *μενέτω* correxi, *μὴν ἐγὼ* Ar. || 9. *εὐπραγοίη* A, *εὐπραγείη* r. || 12. *ἡμετέραις* A, *ὑμετέραις* r. || 16. *δ᾽ οἶμαι* A, *γὰρ οἶμαι* r. || 17. *τρέπωσιν οἱ ἀεὶ* correxi, *τρέπουσιν αἰεὶ* A, *τρέπωσιν οἱ* r.

XVI. 20. post *μακαρίσαι* fortasse *καὶ* excidit.

ἀποδρᾶσα ἡμῶν ἡ δαίμων ἑαυτὴν προσθείη Παυσανίᾳ. οἴχεταί σοι μετ᾽ αὐτῆς ἀνὴρ ἐκεῖνος, ὦ Ἀλκέτα, οἴχεται μὲν ἡ ἐφ᾽ Ἑλλησπόντῳ ἀρχὴ τοσαύτη οὖσα, οἴχεται δὲ ὁ πλοῦτος καὶ τὸ ἄχρι βασιλέως ὄνομα καὶ οὐδὲ ταφῆναι αὐτῷ τελευτήσαντι ἕτοιμον γέγονεν. οἱ δὲ μάλιστα θαυμάσαντες Παυσανίαν νῦν μάλιστα καὶ τοῦ ὀνόματος αὐτοῦ ἀπέχονται πολλῶν τοὺς ἀκουσομένους κακῶν ἀναπλήσοντος, ὥστε σοι ὥρα μήτε μακαρίζειν ἔτι τοῦ μεγέθους Παυσανίαν, μήτε μὴν ὀδύρεσθαι τῆς νῦν καταστροφῆς. δίκαια γὰρ νῦν δὴ πέπονθεν καὶ ἐπαινοῦμεν αὐτοῦ τὴν τιμωρίαν. καὶ εἰ σφόδρα ἐκπέπληξαι τὸ ἄμετρον τῆς μεταβολῆς ἐννοούμενος, ἀπολύσομέν σε τῆς ἐκπλήξεως φήσαντες οἵας καὶ ἡμᾶς ἀπέλυσεν εἱλώτης ἀνὴρ ἐλθὼν οἰμωγῆς, καὶ μεταβαλλόμενος θαύμαζε, ὅτι τοιοῦτος ὢν περιῆν ἐκεῖνος καὶ εὐτύχει ποτὲ καὶ χρόνου πολλοῦ ἀπέλαυεν. ἐπώλου Παυσανίας βασιλεῖ τὴν Ἑλλάδα καὶ Μήδους ἐφίλει καὶ ἐμιμεῖτο, καὶ ἤχθετο ὅτι Ἕλλην εἴη καὶ οὐ τῶν ἐπὶ τὴν Ἑλλάδα ἐλθόντων. καὶ ἐπεὶ ἐδόκει ἀπολογεῖσθαι τῷ ἐν Πλαταιαῖς ἔργῳ μὴ κακὸς εἶναι, πιστεύεται τὴν ἐφ᾽ Ἑλλησπόντῳ στρατηγίαν, καὶ αὐτίκα διὰ τῆς στρατηγίας ἀπελογεῖτο Μήδοις ὅτι οὐδ᾽ ἐν Πλαταιαῖς ἑκὼν ἀγαθὸς ἐγένετο· ποινὴν δὲ ἐκείνου τοῦ ἔργου ἀντεδίδου τὴν Ἑλλάδα αὐτοῖς καὶ Ἀρταβάζῳ συνετίθετο ὄντι σατράπῃ βασιλέως ἐπὶ τοῖς πρὸς θαλάσσῃ ἔθνεσιν, αὐτῷ τε βασιλεῖ ταῦτα ἤγγελλε καὶ αὐτὸς ἤδη Μῆδος ἦν καὶ γνώμῃ καὶ διαίταις καὶ οὐδὲ ἡ ἐσθὴς αὐτὸν ἔτι Ἕλληνα ἐποίει. ταῦτα δ᾽, ὥς που καὶ αὐτὸς ἔγνωκας, ὀλίγη τὸ πρῶτον εἰς Λακεδαιμονίους ἐκόμισεν ἀγγελία καὶ αὐτίκα ἐκίνησε μέν, καίπερ ὀλίγη οὖσα, πλέον δ᾽ οὐδέν. ἐπεὶ δὲ μετεκλήθη, ἀπέτισε Παυσανίας καὶ ἀφαιρεθεὶς τὴν ἀρχὴν ἰδιώτης ἀντὶ στρατηγοῦ γίνεται. εὐθὺς γὰρ εἰς τὴν Ἀσίαν κομισθεὶς καὶ ὀργῇ τε καὶ ἀμύνῃ φέρων τὴν ἀφαίρεσιν τῆς στρατηγίας θερμότερον ἥπτετο τῶν πραγμάτων, κρύφα δὲ ἀκμὴν ἔπρασσεν, οὐκ αἰσχυνόμενος ἐπ᾽ αὐτοῖς εἰ μὴ λανθάνοι,

6. ἀναπλήσοντος Caryophilus, ἀναπλήσαντες Ar. || 11. οἵας Caryophilus, οἵοις Ar. || εἱλώτης Dorvillius ad Charit. p. 639, iterumque Koenius ad Gregor. Corinth. p. 195 (cf. quae leguntur infra p. 6, 11.), εἷς αὐτὸς Ar. || οἰμωγῆς Caryophilus, οἶμαι γῆς Ar. || 16. Πλαταιαῖς r. πλατειαῖς hic et infra A. || 20. ὄντι σατράπῃ Schoettgenius, ἀντισατράπῃ Ar. || θαλάσσῃ A. θάλασσαν r. || 21. αὐτῷ Caryophilus, αὐτός Ar. || 25. μετεκλήθη A, μετεβλήθη r. || καὶ Caryophilus, ἢ Ar. || 26. γὰρ] τε Caryophilus, fort. ἄρ᾽ vel γοῦν. || 28. θερμότερον correxi, θερμοτέραν Ar. || τῶν addidi.

ἀλλὰ φοβούμενος εἰ ἐμπέσοι ἀποτυχεῖν. αὐτίκα γὰρ ἅπασαν συνθεὶς τὴν προδοσίαν ἔμελλεν ἀναφανδὸν μεταστήσασθαι πρὸς βασιλέα. τὸ δ' οὖν μηχάνημα τῆς κρυφίου διαπέμψεως τοιοῦτον ἑαυτῷ κατεσκευάσατο, ὑφ' οὗ δὴ μάλιστα καὶ ἐσώθη χρόνον τινὰ καὶ αὖθις ἀπώλετο. ἄγγελον τὸν ἀεὶ πεμπόμενον ὑπὸ Παυσανίου θάνατος παρὰ Ἀρταβάζῳ ἐδέχετο· ἐπέστελλε γὰρ δὴ Παυσανίας οὐδενὸς ἀμελέστερον τῶν τῆς προδοσίας κατακτείνειν τὸν ἄγγελον, ὡς μηδαμοῦ λόγος σωθείη τῶν ὑπ' αὐτοῦ πρασσομένων. καὶ αὐτῷ ἄχρι μὲν τριῶν καὶ τεσσάρων ἀπωλείας ἀγγέλων τὸ μηχάνημα εὐτύχει, ἐν τῷ πέμπτῳ δὲ ἔστω λανθάνουσα ἡ ἐπιχείρησις· δέος γὰρ ἔλαβεν τοὺς ὑπηρετοῦντας τοῦ Παυσανίου καὶ μᾶλλον τὸ μηδένα ἀπονοστῆσαι τῶν πεμπομένων φοβερωτέρα μήνυσις ἐγένετο τοῖς μήπω ἀπεσταλμένοις. καὶ ἐπεὶ τὸ δεύτερον κληθεὶς εἰς Λακεδαίμονα ἀφίκετο Παυσανίας, καὶ μᾶλλον, ὅτι ἐν αἰτίαις ὢν ἔπεμπε πρὸς βασιλέα ἀγγέλους, ἔδεισεν ὁ τελευταῖος τῶν πεμπομένων καὶ ἐν νῷ βάλλεται τὴν ἑαυτοῦ ἀπώλειαν, καὶ πρὶν μαθεῖν οὐκ ἀξιῶν αὐτῷ τῷ φόβῳ πιστεύειν ἀπομάσσεται τὴν σφραγῖδα τοῦ Παυσανίου, ὅπως γ' ἔχοι σημήνασθαι ψευσθείς. λύσας δὲ τὰς ἐπιστολὰς καὶ τὰ πολλὰ περὶ καταδουλώσεως τῶν Ἑλλήνων καὶ ἔσχατον περὶ τῆς ἑαυτοῦ ἀπωλείας ἀναγνοὺς φέρων ἐπιδείκνυσι τοῖς ἐφόροις. οἱ δὲ τούτοις τοῖς γράμμασι καὶ τοῖς ἄλλοις κατὰ Παυσανίου λόγοις ποιούμενοι τεκμήριον ἔτι καὶ γυμνὴν καταστῆναι τὴν ἀλήθειαν ἐξειργάσαντο. καὶ καθίζουσι τὸν ἄνθρωπον ὡς ἱκέτην ἄγοντες παρὰ Ταίναρον, ἄνδρας ἐξ αὐτῶν κρύφα ἀποστείλαντες. ὡς δ' ἀφικόμενος ὁ Παυσανίας ἐξήταζεν, ὑφ' ἧς αἰτίας ἱκέτης γέγονεν, ἣν αὐτὸς ἄγγελον εἰς τὴν Ἀσίαν πεπόμφει, αὐτίκα ὁ ἄνθρωπος μάρτυρά τε αὐτὸν ποιεῖται Παυσανίαν οὐδὲν παρ' αὐτῷ θανάτου ποτὲ ἄξιον ἐργάσασθαι, προὔφερέν τε ὡς ἀπεστέλλετο ἀπολούμενος, καὶ τῆς μὲν τῶν Ἑλλήνων δουλώσεως ὀλίγον ἑαυτῷ μέλειν ἔφασκεν, οὐδὲ γὰρ νῦν ἀδεῶς ἐλεύθερον εἶναι, ἑαυτὸν δὲ πρότερον ἀπολελῦσθαι

6. ἀρταβάζῳ A. Ἀρταβάζῳ r. || ἐπέστελλε A, ἐπέτελλε r. || 7. κατακτείνειν A. ἀποκτείνειν r. || 9. καὶ] an ἢ? || 16. βάλλεται A, μάλιστα r. || 18. γ' Caryophilus, τ' Ar. || 20. ἐπιδείκνυσι A, ἀποδείκνυσι r. || 21. τούτοις correxi, τούτο Ar. || 22. καταστῆναι correxi, κατανοῆσαι Ar. || 25. ἐξήταζεν Caryophilus, ἐξήταζέ τε Ar. || 26. πεπόμφει A. ἐπεπόμφει r. || 28. ἀπολούμενος r. ἀπολλούμενος A.

ἠξίου. Παυσανίας δὲ πιστοῦταί τε αὐτὸν περὶ τῆς ἀπωλείας καὶ κατίσχειν ἅπερ ἔγνω δεηθεὶς ἀναστήσας εἰς Λακεδαίμονα ἧκε, καὶ εἵποντο οἱ ἄνδρες οὐδενὸς ἀνήκοοι γεγονότες. ὡς δὲ τάχιστα πάντες οἱ ἔφοροι ταῦτα μαθόντες ἐφωράθησαν αὐτῷ συλληψόμενοι, φθάνει εἰσπεσὼν εἰς τὸ ἱερὸν τῆς Χαλκιοίκου Ἀθηνᾶς καὶ ἱκέτης ἔν τινι οἴκῳ τοῦ τεμένους ἐκαθέζετο, οἱ δὲ ἀνοικοδομήσαντες τὴν εἴσοδον, ἀνελόντες τε τὴν ὀροφὴν τοῦ οἴκου ὑπὸ ἐνδείας αὐτῷ παρέσχον ἱκέτῃ μένοντι ἀπολέσθαι, καὶ ἐπεὶ ἀποψύχοντα ἔγνωσαν, ἐξεκόμισαν τοῦ τεμένους καὶ ἐν βουλῇ ἦσαν, εἴτε δοῖεν αὐτῷ ταφῆναι εἴτε μή. τοιαῦτα, ὦ Ἀλκέτα, τὰ τῆς εὐτυχίας πέρατα Παυσανίαν κατέλαβεν, καί σοι ἀποδέδωκα πάντα τὸν λόγον τοῦ εἱλώτου ἀνδρός. καὶ μηκέτι ἡμᾶς ὀδύρου τῆς φυγῆς· τρισόλβιοι γὰρ ἡμεῖς ἄρα, οἳ φθόνῳ ἐμετρήθημεν καὶ οὐκ ἐλάσσονες φθόνου ἐγενόμεθα, ἀλλὰ τὴν ἀρετὴν τῶν παρόντων ἔχομεν αἰτιᾶσθαι καὶ τοῦ πέρατος οὗ ἐτύχομεν τῆς ἐν δημοκρατίᾳ εὐπραγίας. ἀλλ' εἴ που ἄρα αὐτοῖς, ὅτι καὶ ταπεινοὶ ἤδη γεγόναμεν, ἔλεος καὶ μεταμέλεια τὸ πάθος ἀντὶ φθόνου γίγνεται, μανθάνων ἐπίστελλε, ὦ Ἀλκέτα, καὶ τάχα ἂν ἤδη καὶ Αὐτολύκῳ ταὐτὰ ἐπιστέλλοντι πειθοίμεθα.

### ιζʹ.

Νικίᾳ καὶ Μελεάγρῳ. Ἀφίγμεθα εἰς τὴν Κέρκυραν, ὥσπερ καὶ ἀναγόμενοι διεγνώκειμεν, ὅ τε πλοῦς εὐπετὴς ἡμῖν ἐγένετο καὶ πολὺ ἀφεῖλεν οὗ ἐπὶ Κυλλήνης κατεσχέθημεν χρόνου. καὶ ἔτι τήν τε ναῦν εὐθὺς ὑμῖν ἀπέπεμψα καὶ τοὺς πλείους τῶν οἰκετῶν, ὡς ἂν μὴ βαρύτερόν που διάγωμεν ἢ φυγάσιν πρέπειν οἰόμεθα. Κερκυραῖοι δὲ οὐκ οἶδ' ὅπως ἔχοντες ἐπιδείκνυνται. μεμνῆσθαι μὲν γὰρ τῆς ἡμετέρας ὁμολογοῦσιν εὐεργεσίας καὶ μηδὲ ὀφείλειν χάριτας οὐδαμῶς ἀρνοῦνται, καιρῷ δὲ αὐτὰς οὐκ ἀγαθῷ ἀπαιτεῖσθαί φασιν· καὶ αὐτοὶ γὰρ ἀσθενέστεροι τῶν καὶ ἡμᾶς διωκόντων εἶναι· ἀξιοῦσι δὲ μὴ σφᾶς τῆς εἰς ἕνα εὐχαριστίας ἕνεκα ἅπαντας

---

4. ἐφωράθησαν] an ἐφορμήθησαν? || 7. ἀνελόντες Ar, ἀφελόντες Gottleber. τε add. Caryophilus. || 10. κατέλαβεν A, κατέλαβον r. || 14. οἳ ab ant. m. supra versum habet A. || 15. ὅτι καὶ A, ὅτι r. || 18. ταὐτὰ A, ταῦτα r.

XVII. 28. εἶναι· ἀξιοῦσι δὲ correxi, εἶναι ἀξιοῦσιν Ar. || ἕνεκα ἅπαντας correxi, ἕνεκα Schoettgenius, ἅπαντα Ar.

διαφθαρῆναι ἀναγκάσαι, μηδ᾽ ὀνήσαντας τῇ εὐεργεσίᾳ ἀπολέσαι τῇ ἀμοιβῇ. ὥστε εὐπρεπῶς ἡμᾶς ἀποπέμπονται, καὶ δέδια μὴ μακροτέρας ταῦτα ἀρχὴ γένηται φυγῆς.

ιη΄.

Ἀριστείδῃ. Τὴν μὲν ἔχθραν ἡμῶν τὸ ἀνόμοιον τῆς τύχης ἤδη λελύκει καὶ ἀσθενείας ἣν εκθρευει φυγάσι, σὺ δὲ τοῦτο καὶ ὑπερῇρας, ὦ Ἀριστείδη, καὶ εὐεργεσίας κατήρξω παρ᾽ ἐλπίδας εἰς ἀτυχοῦντας ἡμᾶς, καὶ οὐδὲ τοῦθ᾽ ἡμῖν ἐνέλιπεν εἰς τὸ μηδὲν ὧν προσεδοκήσαμεν γεγονέναι. καί σοι οὐδὲν ἀπόλωλε τῆς ἐπὶ τούτοις χάριτος, καὶ εἰ μὴ κοτορθῶσαι ισχυσας, ἀλλὰ καὶ πλείονος ἄρα τῆς ἐκ σοῦ προθυμίας ἢ εἰ, ὅπερ ἔδει, δι᾽ αὐτὴν ἐσώθημεν ἠσθήμεθα, ὅτι καὶ πρὸς οὕτως ἔχοντας Ἀθηναίους ἐμαχέσω. περὶ δὲ τῆς φερούσης ἡμᾶς νῦν φυγῆς, ὡς ἀντὶ μειζόνων αὐτῆς κακῶν κακόν γε καὶ αὐτὴν οὖσαν ἡγούμεθα. πῶς οὐχὶ καὶ σοὶ ταὐτὰ δόξειεν; αὖθις καὶ Πολύγνωτος ἐπέστειλεν ἡμῖν· αὐτὸς γὰρ κατὰ τάχος ὡς ἀπὸ τιμωρίας ἑτοίμης φεύγειν παρεκελεύετο. καὶ οὐκ ἐδόκει μοι, τούτου οὐκ ἂν γενομένου εἰ μένοιμεν, ἁμαρτάνειν. Ἀθηναῖοι γὰρ ἦγον ἐπὶ τὸ κοινὸν δικαστήριον τῶν Ἑλλήνων, ὅπου πολὺ πλεῖόν γε τὸ Δωρικὸν τοῦ Ἰωνικοῦ. καὶ τὸ μὲν πλεῖον ἔμελλεν ἐναντίον γίγνεσθαι, τὸ δὲ ἔλασσον ἀνωφελές, καὶ αὐτὸ δὲ οὐ φίλον ἦν τὸ ὑπηργμένον. ὥστε εἰκότως ἂν ἡμᾶς τὸ ἄλλο ἅπαν δέξαιτο ἀνθρώπων γένος,

1. ὀνήσαντας r. ὀκήσαντας A.

XVIII. 5. καὶ ἀσθενείας ἣν εκθρευει φυγασι A, καὶ ἀσθένεια, ἣν ἐκθρεύει φυγάσι r. fort. scrib. λέλυκεν δι᾽ ἀσθενείας, ἣν ἐπορέγει φυγάσι. sed potest et aliud subesse, velut καὶ ἀσθενεῖ ὃς ἂν ἐχθρεύῃ φυγάσι aut καὶ ἀδδήσειας (ἄδην ἔχοις) ἂν ἐχθρεύων φυγάσι aut καὶ ἀσεβὲς εἴη ἂν ἐχθρεύειν φυγάσι. || σὺ δὲ Caryophilus, σουδε A, σοῦ δὲ r. || 7. ἐνέλιπεν r, ἐνέλειπεν A. || 8. ἀπόλωλε r, ἀπώλωλε A. || τούτοις A, τούτῳ r. || 9. ἄρα τῆς ἐκ σοῦ προθυμίας ἢ εἰ ὅπερ ἔδει δι᾽ αὐτὴν correxi, ἀρετῆς ἐξ οὗ προθυμίας εισυπερεδει (εἰς ὑπερέδει r) αὐτὴν Ar. || 10. ἠσθήμεθα add. A, om. r. || 12. αὐτῆς Caryophilus, αὐτῶν Ar. || κακόν A, κακήν r. || 14. γὰρ Caryophilus, γὰρ τοῦτο τὸ φεύγειν Ar. || 15. τούτου οὐκ ἂν γενομένου, εἰ μένοιμεν pro insititiis habuit Caryophilus, verum ad ipsum τουτον spectat quae praecedenti versu legebatur glossa. fort. μὴ ante μένοιμεν inserendum et τούτου non ad fugam, sed ad poenam referendum.

εἴτε βαρβάρων εἴτε Ἑλλήνων τύχοι, παρ' οἷς δυνήσεται ἡμᾶς καὶ ταῦτ', ἐφ' οἷς διωκόμεθα, ὠφελεῖν.

ιθ'.

Ἀνταγόρᾳ. Ἐπηγγέλλεσθέ μοι πολλάκις, ὦ Ἀνταγόρα, σύ καὶ Αὐτόλυκος, ῥᾳδίως ἡμᾶς τοῦ ἐξοστρακισμοῦ ἀπολύσειν· μάχεσθαι γὰρ τῷ ἐχθρῷ ἡμῶν Ἀριστείδῃ ἐλέγετε καὶ πρὸς τὰ ἐναντία τὸ πλῆθος ἢ ἐκεῖνος ἄγειν, καὶ ἤδη αὐτὸν ἔλασσον φέρεσθαι μὴ ἐθέλοντα ἀνεῖναι τῆς ἔχθρας. Ἀριστείδης ἡμῖν Ἀνταγόρας γέγονεν καὶ Ἀριστείδης Αὐτόλυκος, καὶ οὐδενὸς ἂν κακῶν μετέσχομεν, ὧν ἐμέλλομέν τε καὶ ἤδη μετέχομεν, εἴπερ ἡμῖν τοσοῦτοι τρεῖς ἢ τέσσαρες ἐγένεσθε ἐν Ἀθήναις φίλοι ὁποῖος Ἀριστείδης ἐχθρὸς εἷς, μᾶλλον δὲ εἰ καὶ ἐπείσθητε ἡμῶν τῷ ἐχθρῷ· νῦν δὲ διὰ τίνας μᾶλλον, ὦ Ἀνταγόρα, φεύγομεν; δι' ὑμᾶς· οὐ γὰρ διὰ τοὺς ἐχθρούς γε ἀλλοτρίῃ κατευχόμεθα ἀγγεῖλαι. ἀλλ' ἐνικήσατε, ὦ φίλοι, καὶ φεύγομεν οὐδένα οὐδαμοῦ αἰτιασόμενοι, καὶ εἰ τὰ οἴκτιστα πεισόμεθα.

κ'.

Πολυγνώτῳ. Ταῦτ' ἔστιν, ὦ Πολύγνωτε, τὰ συμβάντα ἡμῖν μετὰ τὴν ἐξ Ἄργους φυγήν, ἃ παρεκάλεις γραφῆναί σοι καὶ ἐγὼ γέγραφα. τοῦ γὰρ ἀγγέλου κατὰ τὴν σπουδὴν ἐλθόντος, ὅνπερ ἔπεμψας ἡμῖν τά τε ἄλλα καὶ φεύγειν ἀγγέλλοντα, ἄρας αὐτίκα ἀπ' Ἄργους — συνῆραντό μοι καὶ τῶν ξένων Νικίας καὶ Μελάγχρος — κατῆλθον ἐπὶ Κυλλήνην τὸ Ἠλείων ἐπίνειον, ἐκεῖθι δὲ ἐκινδυνεύσαμεν ὑπὸ χειμῶνος ἀναμεῖναι τοὺς διώκοντας ἡμᾶς· πλεῖν γὰρ ἐπὶ Κέρκυραν ὡρμημένοι χάριτος ἡμῖν ἐς Κερκυραίους προϋπηργμένης, τρεῖς ὅλας κατειχόμεθ' ἡμέρας, καὶ οὐκ ἐδόκει ὅτι φεύγομεν ἔτι καὶ Λακεδαι-

---

XIX. 6. ἄγειν Caryophilus, ἄγοι Ar. || 9. ἐμέλλομεν correxi, μέλλομεν Ar. || μετέχομεν Caryophilus, μετέχειν Ar. || ἡμῖν r., ἡμεν A. || τοσοῦτοι — ἐγένεσθε — εἷς Caryophilus, τοσοῦτοι — γενέσθαι — εἶναι Ar. || 11. νῦν r., φῦν A. fort. τανῦν. || 12. φεύγομεν; δι'] fort. φεύγομεν ἢ δι'. || 13. ἀλλοτρίῃ (ἀλλοτρίην) κατευχόμεθα ἀγγεῖλαι Ar. conieci ἄλλο τι ἢ κατηρχόμεθα ἂν πάλαι. || ἀλλ' ἐνικήσατε correxi, ἀλλὰ νικήσατε Ar. || ὦ r., οἱ A. || φεύγομεν A, φεύγωμεν r. || 14. αἰτιασόμενοι Habichius, αἰτιασάμενοι Ar.

XX. 18. τε A, δὲ r. || ἀγγέλλοντα r., ἀγγέλοντα A. || 19. Νικίας r., νικίας A. || 20. Ἠλείων ἐπίνειον r., ἠλίων ἐπίνιον A. || ἐκεῖθι A, ἐκεῖ r. || 23. ὅτι Caryophilus, ὅτε Ar.

*μονίοις ἄδηλον εἶναι. τετάρτῃ γοῦν ἡμέρᾳ πλοῦς σφόδρα ἀγαθὸς ἡμῖν γίγνεται, κἀγὼ τοὺς μὲν ξένους ἀπέλυσα ἐπαινέσας, — ἔτι γὰρ ἡμῖν καὶ πορρωτέρω ἠξίουν συμφεύγειν —, νηὶ δέ, ἣν παρέσχοντό μοι, ἀφεὶς ἐπὶ Κέρκυραν εὐπετῶς διεκομίσθην. Κερκυραῖοι δὲ οὐκ εὐχάριστοι μᾶλλον ἢ ἀκίνδυνοι ἐβούλοντο εἶναι καὶ ἀμοιβὴν ὧν εὐεργετοῦντο ἀπαιτούμενοι εὐεργεσίαν ἠτοῦντο μὴ ἐπὶ Κερκύρᾳ τὴν φυγὴν καταλύειν, ὥστε ἡμῖν ὅ τι καὶ δράσωμεν ἠπορεῖτο τῇ γνώμῃ. ἤδη δὲ καὶ τὴν ναῦν τοῖς ξένοις ἀποπεπόμφειν τοῖς Ἀργείοις, οἰκέται τέ μοι ἐλάσσονες ὧν ἀπέλυσα ἐλείποντο. ἐπεὶ δὲ Κερκυραῖοι καὶ τραχύτερα ἤδη ἐφθέγγοντο καὶ προδώσειν ἐῴκεσαν πολὺ μᾶλλον ἢ μαχεῖσθαι περὶ ἡμῶν, ἔγνων ἐπὶ Σικελίαν τε καὶ πρὸς Γέλωνα πλεῖν. Γέλων γὰρ δὴ τότε Συρακοσίων ἐμονάρχει καὶ ἥσθητο οὐ παρέργως ἡμῶν καὶ οὐκ ἔμελλεν Ἀθηναίοις πεισθήσεσθαι. ναῦν δὴ σκέπτομαι ἀνδρῶν Λευκαδίων, οἳ τῇ ἐπιούσῃ ἡμέρᾳ ἔμελλον εἰς τὸν Αὐσόνων ἐμβάλλειν. καί με ἀπέστρεψεν κομισθεῖσα ἀγγελία· τεθνήκει γὰρ ἤδη Γέλων καὶ πολλὴ περιειστήκει ταραχὴ Ἱέρωνα τὸν ἀδελφὸν αὐτοῦ ἄρτι εἰς τὴν μοναρχίαν καθιστάμενον. καὶ ἐγώ, ὥσπερ εἶχον, τῇ αὐτῇ νηὶ ἐπί τε Ἤπειρον πλέω καὶ ἀποβὰς εἰς Μολοσσοὺς ἔρχομαι καὶ ἐπὶ τῇ ἑστίᾳ τῇ Ἀδμήτου ἐκαθεζόμην. Ἀδμήτῳ δὲ τότε ὑπήκουε τὸ Μολοσσῶν ἔθνος καὶ ἐδόκει μάλιστα αὐτῷ δι' εὐσέβειαν ἡ βασιλεία ηὐξῆσθαι, καὶ οὐκ ἐφαίνετο περιόψεσθαι ἡμᾶς ἱκέτας γενομένους. τῶν δ' Ἀθηναίων καὶ Λακεδαιμονίων οἱ πεμφθέντες, ὅπως βίᾳ πάντοθέν με ἄγωσιν, τῇ ἐπιούσῃ ἡμέρᾳ καταπλεύσαντες ἐς Μολοσσοὺς ἀφικνοῦνται, καὶ καταλαβόντες με αὐτόθι ἐχάρησαν καὶ ἄξειν προὔλεγον, καταστάντες τε Ἀδμήτῳ τοιαῦτα ἔλεγον. „προδότην, ὦ Ἄδμητε, ἐλάνθανες οἴκῳ τε τῷ σῷ καὶ ἑστίᾳ δεξάμενος. οὗτος δὲ ἴσον οὐδὲν καὶ σὲ καὶ Μολοσσοὺς προεδίδου, καὶ εἰ κατώρθωσεν, ἡμεῖς, ὦ Ἄδμητε,*

1. *γοῦν* Caryophilus, *γὰρ* Ar. || 6. *εὐεργετοῦντο* A, *εὐηργετοῦντο* r. || *μὴ* add. Caryophilus. || 7. *δράσωμεν* correxi, *δράσομεν* Ar. || *ἠπορεῖτο* Caryophilus, *ἠπόρει* Ar. || 8. *ἀποπεπόμφειν* A, *ἀπεπεπόμφειν* r. || 11. *πολὺ* A, *πολλῷ* r. || 12. *δὴ τότε* A. *δήποτε* r. || *συρακοσίων* A, *Συρακουσίων* r. || 13. *ἤσθητο* A, *ᾔσθητο* r. fort. *ἐκήδετο.* || 14. *οἳ* Caryophilus, *καὶ* Ar. || 15. *ἀπέστρεψεν* A, *ἀπέτρεψεν* r. || 16. *τεθνήκει* A, *ἐτεθνήκει* r. || *περιειστήκει* r, *περιιστήκει* A. || 17. *εἰς* addidi. || 19. *τῇ ἀδμήτου* A, *τοῦ Ἀδμήτου* r. || 23. *ἄγωσιν* r. *ἄγουσιν* A. || 28. *καὶ* ante *Μολοσσοὺς* supra versum habet A.

ἱκέται τῆς Μήδων ἐγενόμεθ' ἂν ἑστίας, οὗτος δ' ἂν ἴσως καὶ ἀντὶ σοῦ ἐβασίλευεν Θεσπρωτῶν. νῦν δὲ ἄδικοι ἄρα εἰς Παυσανίαν ἐγενόμεθα· τῶν γὰρ αὐτῶν ἕνεκεν βουλευμάτων ὁ μὲν τετιμώρηται ἤδη, ὁ δὲ σεσῶσθαι προσδοκᾷ καὶ σὲ τοῦ ἀδίκου βοηθὸν ποιεῖται. Παυσανίᾳ δὲ οὐδ' ἡ Χαλκίοικος ἐπήρκεσεν. ἀλλὰ τοῦτον μὲν ἀνίστασθαι κέλευε καὶ παυσάσθω σε διαβάλλων καὶ τὴν σὴν μιαίνων ἑστίαν, φίλοι δέ σοι ἔστωσαν Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι ἀνθ' ἑνὸς προδότου καὶ φυγάδος." ταῦτα εἰποῦσιν αὐτοῖς ἐγὼ ἔμελλον ἀντιλέγειν, ὑφ' ὧν ᾤμην αἰσχυνθέντας αὐτοὺς ἀπελάσεσθαι, ἀλλὰ φθάνει Ἄδμητος εἰπών· „οὗτος μὲν ὁ καιρός, ὦ Ἀθηναῖοι καὶ Λακεδαιμόνιοι, τὴν ἱκετείαν μόνον τὴν Θεμιστοκλέους δικάσειεν, εἰ δὲ καὶ τὴν προδοσίαν ἐδίκαζον, μήτε Ἀθηναῖος ὢν μήτε Λακεδαιμόνιος εὖ ποιῶν ἀπέλυον ἂν Θεμιστοκλέα. καί μοι ταῦτ' ἔδοξεν ἂν τήν τε ἐπ' Ἀρτεμισίῳ ναυμαχίαν κελεύειν καὶ τὴν ἐν Σαλαμῖνι, τήν τε Παυσανίου προδοσίαν, ἥτις ὑμῖν, κἂν ἐπὶ Θεμιστοκλέα διαιρῆτε αὐτήν, ἀεὶ μόνου ἔσται Παυσανίου. καὶ ταῦθ' ὑμεῖς ἐμέ τε ἀγνοεῖν ἐδόξατε, ἐγώ τε ὡς ταῦτ' ἀγνοῶν τὰ τῆς ἱκετείας δικάζω. ἄνδρα τῆς ἐμῆς ἁψάμενον ἑστίας καὶ δεδιότα μὲν ἀνθρώπους, τοῖς δ' ἐν Ἠπείρῳ θεοῖς πιστεύοντα σῶόν τε φυλάσσω ὡς ἱκέτην ἀντὶ τούτου καὶ ἀβλαβῆ, καὶ οὐκ ἀνθρώποις τισὶν ἀπέχθομαι, ἀλλὰ θεοὺς δεδιέναι οὐκ ἀρνοῦμαι, θυσιῶν τε ἡγοῦμαι ἁπασῶν χάριν ἀμείνω εἶναι θεῷ ἱκέτην φυλασσόμενον." οὕτω μὲν δὴ ἐκεῖνοι κατηφήσαντες ἐκ Μολοσσῶν ἐχώρουν, ἐγὼ δὲ εἰς Μακεδονίαν ὑπὸ Ἀδμήτου πεμφθεὶς καὶ εἰς Πύδναν ἐλθὼν πρὸς Ἀλέξανδρον, Μακεδόνων ἄρχοντα, πέμπομαι ὑπ' Ἀλεξάνδρου ἐπὶ τὴν ἐκεῖ θάλασσαν. καὶ ἐπιτυχὼν ὁλκάδος εἰς Ἰωνίαν πλεούσης ἐμβὰς ἐκομιζόμην· γῆς τε γὰρ τῆς βασιλέως δὴ μάλιστα ἠσθημένου ὧν εἰργασάμεθα αὐτὸν κακῶν μάλιστα ἐμέλλομεν, εἰ δίκαια πεπόνθαμεν, γνώσεσθαι.

1. ἐγενόμεθ' ἂν correxi, ἐγενόμεθα Ar. || 6. σε correxi, γε Ar. || 9. ἀπελάσεσθαι correxi, ἀπελάσασθαι Ar. || 11. τὴν r, τῆς addito ν supra ς A. ceterum ἂν excidit. || 12. ἀθηναῖος ὢν A, Ἀθηναίοις ἂν r. || Λακεδαιμόνιος correxi, λακεδαιμονίοις Ar. || 13. ἔδοξεν correxi, ἔδοξα Ar. || 15. διαιρῆτε r, διαιρῆται A. || 16. ἐμέ τε] exspectes τε ἐμέ. || 17. ἐδόξατε correxi, δόξετε Ar. || 18. δεδιότα r, δεδειότα A. || 19. σῶόν τε φυλάσσω ὡς ἱκέτην correxi, ὡς ὄντα φυλάσσω καὶ Ar. || 21. δεδιέναι r, δεδειέναι A. || 26. γῆς τε γὰρ τῆς A. γῆς τε γὰρ οὐ r. conieci σχόντες γάρ τις. sed fortasse plura exciderunt. exempli causa ponam γῆς τε γὰρ τῆς [ἐχθίστης ἱκέται γενόμενοι] καὶ βασιλέως cett. || 27. ἠσθημένου Caryophilus, ἠσθημένος Ar. || 28. ἐμέλλομεν Caryophilus, ἔμελλεν A, ἔμελλον r. || γνώσεσθαι A. γνώσεσθε r.

πλέοντας δ' οὐκέθ' ἡμᾶς εὔπλοια ἦγεν, ὑφ' ἧς καὶ ἀναχθῆναι ἐπείσθημεν, ἀλλ' ἤδη καὶ ἰσχυρῷ χειμῶνι ἐχρώμεθα. καὶ οὐκέθ' ὁ χειμὼν ἐμὲ τοσοῦτον ἐπελύπει· ἀλλ' ἐπὶ Νάξον κατεφερόμεθα, Νάξον δὲ Ἀθηναῖοι τότε ἐπόρθουν καὶ ἐπὶ τὸ στρατόπεδον αὐτῶν κατεπλεύσαμεν. ἐγὼ δὲ ἐν πολλῇ ἀμηχανίᾳ ἐκείμην καὶ ἤδη ἐνόμιζον ἱκετείας τε ἀνωφελεῖς ἱκετεῦσαι καὶ ὀλεθρίου ἅψασθαι φυγῆς· ἀκμῇ τι γὰρ ἔμελλον ἁλώσεσθαι Ἀθηναίοις πρὸς τοὺς διώκοντας ὁ φεύγων ἐληλυθώς. ἀλλ' ἐπεὶ τοῖς μὲν ἐν τῇ νηὶ ἀγνὼς ἅπασιν εἶναι ἐδόκουν, τοῖς δὲ ἐν τῷ στρατοπέδῳ ἐπιγνωσθῆναι ἐδεδίειν, οὐκ ἐξέλειπον τὴν ναῦν, οἱ σύμπλοι δ' ὕποπτοι ἐγίγνοντο καί τι κακὸν αὐτοῖς γίνεσθαι ἐδόκουν καὶ οὐκ ἐπιτήδειος εἶναι ἐν τῷ πλεῖν, ὥστε καὶ ἐκβάλλειν με τῆς νεὼς ἐβούλοντο. ἐν τούτῳ δέ μοι κινδύνου ἑστῶτι Διοπείθης ἀνὴρ τῶν συμπλεόντων ἡμῖν, γένος Βαργυλιήτης, καὶ πρότερον ἐνορῶν τέ μοι πολλάκις καὶ θαυμάζοντι ἐοικὼς ἔτι μᾶλλον τότε ἐσκέπτετο, καὶ τούτῳ ἰσχυρῶς ὅνπερ ᾤετο αὐτὸς ὢν ἐφάνην. καί μοι μόνος ἔγγιστα ἐλθὼν ὀλίγῃ τῇ φωνῇ ἔλεγεν· „ἀκλεῶς ἐνυβρίζει σοι τὸ δαιμόνιον, ὦ Θεμιστόκλεις, εἰ σοι τὴν σωτηρίαν τέθεικεν ἐν μόνῳ τῷ ἀγνοηθῆναι Θεμιστοκλεῖ ὄντι· * * * τὸ σώζεσθαι κεῖται. ἀλλ' ἔγωγε καὶ ἔγνωκά σε καὶ τοῦτο μάλισθ' ὡς ὀλέθριον δεδιότι σωτηρίαν ἴσως ἐργάσομαι. ἐγὼ γάρτοι εἰμὶ ἐκεῖνος, ὃν σὺ ἐρρύσω, ὅτε με εἰς Ἀρτεμίσιον ἔμπορον καταπλεύσαντα ἀνδρὸς Ἑστιαιέως ἐχθροῦ ἰδίου ἕνεκα ἀποθανεῖν ὡς παρὰ βασιλέως πλέοντα ἠξίουν. σὺ δέ, ὅπερ ἦν, ἀπιστήσας αὐτοῖς ἔτι καὶ ἐκάκισας τῆς ἐπιχειρήσεως, καὶ οὔτε εὖ ἐπεπόνθεις ὑφ' ἡμῶν πρότερον, οὔτε πείσεσθαι προσεδόκας. ἡγεμὼν γὰρ ἦς βασιλεῖ ἀντίπαλος καὶ ἄλλοις εὐεργεσίας παρεῖχου, καὶ ἐγὼ ἀπεγνώκειν ἐκείνης τῆς χάριτος ἀμείψασθαι Θεμιστοκλέα καὶ οὐδὲ ἐβουλόμην· οὐ γὰρ

1. εὔπλοια] immo ἡ εὔπλοια. || 3. τοσοῦτον deinceps ὅσον ὅτι pro ἀλλ' postularet. fort. fuit τὸ σύμπαν (τολοιπὸν) — ἀλλ' ὅτι. || ἐπελύπει correxi, ἔτι ἐλύπει Ar. || κατεφερόμεθα A, καταφερόμεθα r. || 5. δὲ A, οὖν r. || 9. ἐδεδίειν r, ἐδεδείειν A. || 10. ἐξέλειπον A, ἐξέλιπον r. || σύμπλοι Habichius, συμπλόοι A, σύμπλους r. || τι A, τοι r. || 12. με A, ἐκ r. || 18. κἂν τῷ λαθεῖν post ὄντι inseri voluit Caryophilus, τὸ σώζεσθαι κεῖται deleri Habichius. || 20. δεδιότι scripsi, δεδειότι A, δεδείσοι r. || 21. ἐρρύσω r, ἐρύσω A. || με add. A, om. r. || 22. Ἑστιαιέως correxi, ἑστιέως Ar. || 24. ἐκάκισας A, ἐκάκωσας r. || 26. εὐεργεσίας A, εὐεργεσίαν r.

σε ὧδε πράξειν ὥστε καὶ ἡμῶν δεηθῆναι ἠλπίσαμεν.“ „ἀλλ᾽, ὦ φέριστε,“ ἔφην ἐγώ „οὐδ᾽ ἐμοὶ τοῦτο νῦν ἀτύχημα γέγονεν, εἰ καὶ ἐπὶ τὸ παρὰ σοῦ λαχεῖν ἀμοιβῆς ἀφῖγμαι καὶ δύναταί με ταῦτ᾽ ὠφελεῖν. σὺ δὲ χαῖρέ τέ μοι καὶ μοι εὐτύχημα ἔστω, εἰ σοι δύναμις ὧδε ἔχει, ὥστε σῶσαι Θεμιστοκλέα.“ αὐτίκα οὖν ἄγει τε πρός με τὸν δεσπότην τῆς νεὼς ἑταῖρον ὄντα αὐτῷ καὶ κοινωσάμενος ἐδεῖτο φεύγειν ἀπὸ τῆς Νάξου κατὰ τάχος, ὁ δὲ ἠγανάκτει καὶ ὁρμῆς ὡς εἶχεν ἐξελθὼν μηνύειν εἰς τὸ στρατόπεδον. καὶ ἐγὼ δεήσει μὲν οὐδεμιᾷ ἐχρησάμην, ἀπειλὴν δὲ αὐτῷ τίθεμαι ἐρεῖν εἰς Ἀθηναίους, ὅτι με οὐκ ἀγνοῶν, ἀλλὰ χρήμασι διαφθαρεὶς σώζει ἐκ τῆς Ἑλλάδος. καὶ ὅ τε ἄνθρωπος ἔδεισε καὶ μεταβαλλόμενος δωρεὰν τοῦ ἔργου ᾐτεῖτο, ἐγὼ θ᾽ ὑπεσχόμην. καὶ νύκτωρ ἀναχθέντες ἐκομίσθημεν εἰς Ἔφεσον. ἐκεῖ δὲ Περσῶν τινας καταλαμβάνω φύλακας Καρίας ὑπ᾽ Ἀρταβάζου καθεζομένους· καὶ Ξέρξῃ μὲν ἤδη ἀδεῶς εἶχον ὅστις εἴην λέγειν, καὶ τό τε ὄνομα ἔφραζον καὶ ὡς μέγα ὀνήσων τὸν βασιλέως οἶκον ἐλήλυθα, οἱ δὲ τήν τε ἐπαγγελίαν τοῦ λόγου πρὸς Ἀρτάβαζον ἐκόμιζον, ἐμέ τε ἦγον εἰς Φρύγας· ἦν γὰρ Ἀρτάβαζος ἐν Φρυγίᾳ. ὁ δὲ ἐπεὶ τά τε ἄλλα ἐξ ἐμοῦ καὶ ὡς διέγνωκα πρὸς βασιλέα βαδίζειν ᾔσθετο, ἐπῄνει τε και ἔπεμπεν εὐθύς, καί μοι ἵππους δύο καὶ ἴσους οἰκέτας δωρεῖται καὶ τρισκαίδεκα δὲ ἄλλους Περσῶν συνέπεμψεν, οἷς ἥ τε ὁδὸς καὶ τὰ ἐπιτήδεια ἔμελεν, αὐτοὶ δὲ καμήλοις ἐχρῶντο. ὁδεύων δὲ ὄρη μὲν ὀλίγα, κοίλην δὲ διῆλθον οὐχ ὑψηλήν, πεδία δὲ ἐθεασάμην τε καὶ ὥδευσα καλὰ καὶ οὐδαμῇ ἀνώμαλα. ᾤκεῖτο δὲ καὶ εἰργάζετο μάλιστ᾽ αὐτῶν τὰ περιττά, ἡ δὲ ἔρημος θηρία τε καὶ ζώων ἄλλων ἔβοσκεν ἀγέλας. καὶ ποταμοὺς ἔπλευσα πολλοὺς καὶ ἔθνεσι παντοίοις ἐμίγην. ἤδη δὲ ἀπὸ τῶν συνόδων καὶ τῆς Περσίδος φωνῆς ἀντελαμβανόμην, καί με οὐκέτι ἡ ὁδὸς χαλεπῶς ἔτριβεν ὑπὸ τοῦ ἔθους. καὶ ἥ τε

---

4. *σὺ δὲ χαῖρέ τέ* Caryophilus, *εὐ δὲ χαίρεταί* Ar. || 8. *μηνύειν*] *ἔμελλε μηνύειν* Caryophilus. sed fortasse ipsum *ἔμελλε* latet in *ἐξελθών*. nisi corruptum est *ὁρμῆς*, quod possit in *ὡρμᾶθ᾽* mutari. || 11. *μεταβαλλόμενος* A, *μεταβαλόμενος* r. || 12. *θ᾽* correxi, *δ᾽* A, *δὲ* r. || 20. *τρισκαίδεκα* r, *τρέισκαίδεκα* A. || 22. *ἔμελεν* r, *ἔμελλεν* A. || *αὐτοὶ δὲ* correxi, *αὐτοῖς* Ar. || 23. *διῆλθον* Caryophilus, *ἦλθον* Ar. || *πεδία δὲ* correxi, *πεδιάδα* Ar. || 24. *καλὰ* correxi, *γαλα* A, *γάλα* r. || 25. *τὰ περιττά* quid sibi velit non assequor. exspectes *τὰ πιότατα* sive *παραποτάμια*. || 28. *με οὐκέτι* Caryophilus, *μεκετουκ* Ar. || *ἔθους* Caryophilus, *ἔτους* Ar.

ὁδὸς ἡμῖν ἐτελεύτα καὶ παρὰ βασιλεῖ, ὅποιπερ ὡρμήμεθα, ἧμεν. ἐπεὶ δὲ ἐκομίσθη πρὸς αὐτὸν ἀγγελία, παρεῖναι ἐπὶ θύρας αὐτοῦ Θεμιστοκλέα τὸν Ἀθηναῖον, ἄγομαί τε ἐγγὺς αὐτοῦ καὶ ἀχθεὶς ἄντικρυς τοῦ θρόνου ἐγὼ μὲν ἔστην, ἐκεῖνος δὲ ἐκάθητο καὶ περιθεασάμενος ὧδε ἔλεγεν· „ὦ ξένε Ἀθηναῖε, λόγος μὲν ἤδη περὶ σοῦ πολὺς ἐν ἡμετέρῳ ἐφέρετο οἴκῳ, ὅτε ἅμα καὶ Μήδων ἡ ἐν Σαλαμῖνι συμφορὰ παντὶ ἀνὰ στόμα ἦν. σὺ δὲ λέγοις ἂν πρὸς ἡμᾶς, πῶς θράσους ἔσχες ὄψει τε ἐμῇ ὀφθῆναι καὶ φωνῆς ἀκοῦσαι. καὶ σὺ Θεμιστοκλῆς ἐκεῖνος ἐλήλυθας, ὃν Μῆδοι λέγουσιν αἴτιον ἐμοὶ γενέσθαι καὶ πατρὶ ἐμῷ μὴ ἄρχειν Ἑλλήνων; ἀλλ' ἄμεινον μὲν ἐμοὶ ἦν Ἕλληνας ἔχειν ἢ σὲ τιμωρεῖσθαι, σὺ δὲ τοῦτό γε ἀντ' ἐκείνου παρέσχηκας ἡμῖν, ὥστε σε ἐπαινέσαντες κολάσομεν." ταῦτ' εἰπόντος αὐτοῦ παρίσταταί μοι ὑπ' ἀνάγκης ἐπαινέσαι τὴν ἀπάτην, ἣν καιρός τις ποιεῖ ἀγαθήν, χρῶμαί τε αὐτῇ καὶ ἔλεγον· „κόλασιν, ὦ βασιλεῦ, φεύγοντες ἐπὶ σὲ βοηθὸν ἀφίγμεθα· κολάζειν γὰρ ἔμελλον ἡμᾶς οἱ Ἕλληνες ἀντὶ τῆς εἰς πατέρα τὸν σὸν εὐεργεσίας, ὅτι ἡμῖν φίλα ἐνθυμούμενοι τόν τε ἐπὶ Σαλαμῖνα πλοῦν κατὰ τάχος ποιεῖσθαι ἠγγείλαμεν, διεστῶτος μὲν τότε καὶ τεταραγμένου τοῦ Ἑλληνικοῦ καὶ μέλλοντος ἐπὶ Πελοποννήσου φεύγειν καὶ καιρὸν χρηστὸν ἐπιχειρήσεως παρέχοντος, τό τε ζεῦγμα λύειν ἐθέλοντας ἐκωλύσαμεν. καὶ σοὶ Μῆδοι μὲν διὰ τοῦτο μάλιστα ἀπενόστησαν ἐκ τῆς Εὐρώπης, ἐγὼ δὲ διὰ ταῦτα ἐπὶ τιμωρίαν ἠγόμην. ἔφθην δὲ φυγὰς γενόμενος, ὡς ἄν σέ τι ὀνήσω καὶ ἐμαυτῷ δίκας εὕρωμαι. καὶ ταῦτα ποιήσειν ἐπαγγέλλεται ἰσχύς, μεθ' ἧς ἐγὼ πλείω κακὰ ἐργάσομαι τοὺς Ἕλληνας ἢ ἐδόκουν μετ' ἐκείνων ἐργάσασθαι." ὁ δ' εἶπεν· „ἐπειδὴ ἀποδώσεις ἡμῖν τὴν Ἑλλάδα, ἣν διὰ σὲ ἀφῃρῆσθαι οἰόμεθα, χαῖρέ τε καὶ οὐδενὸς χρηστοῦ ἀτυχήσεις, καὶ σου τοὺς λόγους πείρᾳ τε καὶ ἔργῳ δώσομεν." ἐκ τούτου, ὦ Πολύγνωτε,

4. ἐγὼ μὲν ἔστην, ἐκεῖνος δὲ ἐκάθητο correxi, ὁδεμε ἱστήκειν ὁδεκαταιτε A, ὅδε με ἱστήκειν, ὅδε κατιτε r, ἐγὼ μὲν εἱστήκειν, ὁ δὲ καθίζεται Caryophilus. ‖ 7. δὲ λέγοις Caryophilus, δ' ἔλοις A, δ' ἔλοις r. ‖ 12. σε add. A, om. r. ‖ κολάσομεν r, κολάσωμεν A. ‖ 13. παρίσταται correxi, περιίσταται Ar. ‖ ἐπαινέσαι] fort. scrib. ἐπιτελέσαι sive ἐπάγεσθαι. ‖ ἣν καιρός τις ποιεῖ] an ἣν ὁ καιρὸς ἐνεποίει? nisi mavis ἣ ἐν καιρῷ μοι ἐπῄει ἀκμήν. ‖ 20. παρέχοντος Poppo ad Thucyd. I, 137, παρέχοντες Ar. ‖ 24. ἰσχύς] immo ἡ ἰσχύς.

ἐνέτριβον ἐν τοῖς βασιλείοις τιμῆς τε τυγχάνων καὶ ἀεὶ τὰ περὶ Ἑλλήνων ἐξεταζόμενος. καί μοι βασιλεὺς αὐτός, ἐπεὶ καὶ τῇ Περσῶν αὐτὸν ἤδη φωνῇ πολλὰ ἠμειβόμην. χρυσοῦν τε δωρεῖται ἀκινάκην καὶ Περσικὴν ἐσθῆτα χρυσοΰφαντον, ἐδωροῦντο δ' αὐτίκα καὶ οἱ περὶ αὐτόν, ἐπεὶ τάχιστα ἤρξατο ἐκεῖνος. καί μοι ἤδη Ἀρτάβαζον ἧσσον ἐνόμιζεν πιστὸν εἶναι καὶ ἐπὶ θάλατταν κατέπεμπεν ἐπὶ τὴν ἐκείνου στρατηγίαν, καὶ οὐκ ἐσθῆτας ἔτι ἡμῖν οὐδὲ χρυσόν, ἀλλὰ πόλεις τε ἤδη καὶ πολλὴν γῆν ἐχαρίζετο. ἀφελὼν γὰρ ἤδη τῆς ἑαυτοῦ βασιλείας Μυοῦντα καὶ Λάμψακόν τε καὶ τὴν ἐπὶ Μαιάνδρῳ Μαγνησίαν ἐμοὶ δίδωσιν. καὶ Λάμψακον μὲν ἠλευθέρωσα καὶ πολλῷ φόρῳ βαρυνομένην ἅπαντος ἀφῆκα, Μυοῦντα δὲ τὴν ἐπὶ Μαγνησίᾳ καὶ αὐτὴν Μαγνησίαν καρποῦμαι. ἀλλ' οὔτε τῆς ἐξουσίας οὔτε τῶν χρημάτων μετά τινος τέρψεως αἰσθανόμεθα, ἀλλὰ χρημάτων μὲν ἅλις εἶναί μοι καὶ ὅσα ἐνεργῷ τὴν φυγὴν μόνον ἡμῶν ἔσωζεν· τῆς γὰρ νῦν παρούσης ἀφθονίας οὐδ' οἱ φίλοι ἅπαντες ἀπολαύετε, ἐξουσίαν δὲ τοσαύτην πῶς δυναίμεθ' ἂν Ἕλληνες ὄντες ἀγαπᾶν; ὥστε περίστασιν ἐγὼ καὶ ἀνάγκην τὰ παρόντα μᾶλλον ἢ εὐτυχίαν ἡγοῦμαι. νῦν δὲ δὴ καὶ μᾶλλον ὑπὸ συμφορᾶς καταλαμβανόμεθα· μέμνηται γὰρ καὶ ἐγείρει τὴν ἐπὶ τοὺς Ἕλληνας στρατείαν βασιλεύς, καὶ ταῦτα ὑπὸ δευτέρας ἤδη κεκόμισται ἀγγελίας. καὶ ἡμᾶς ἄρα τοῦ στρατοῦ προβάλλεται ἡγεμόνας καὶ Μήδους ὑποτάξει Θεμιστοκλεῖ, καὶ στρατεύσομαι ἐπ' Ἀθήνας ἐγὼ καὶ τῷ Ἀθηναίων ναυαρχήσοντι μαχοῦμαι: πολλὰ ἄλλα ἔσται, τοῦτο δὲ οὐδέποτε.

κα΄.

Τημενίδᾳ. Τῶν κρατήρων μοι τῶν ἀργυρῶν τοὺς μεγίστους τέσσαρας καὶ τῶν θυμιατηρίων τῶν χρυσῶν, ἐφ' οἷς ἐπιγέγραπται

---

1. ἐνέτριβον A. ἀνέτριβον r. || 4. χρυσοΰφαντον correxi, χρυσοῦ ὑφαντὴν Ar. || 5. ἀρτάβαζον A, Ἀρταβάζου r. || 6. πιστὸν εἶναι correxi, πιστεύειν Ar. || 10. μὲν et 11. δὲ addidi. 11. ἐπὶ correxi, ἐν Ar. || 13. χρημάτων — ἔσωζεν] sic Ar, nisi quod ἡμῖν r. conieci χρημάτων μὲν ἅλις εἶ καί μοι καὶ ὅσα ἐν ἔργῳ μετὰ τὴν φυγὴν Μένων ἡμῖν ἔσωζεν. quod si verum, quod sequitur γὰρ in γε et ἅπαντες in ἀπόντες mutandum est. || 16. τοσαύτην Schoettgenius, τοιαύτην Ar. || 17. περίστασιν Caryophilus, ἐπιστατεῖν Ar. || 22. ναυαρχήσοντι Caryophilus, ναυαρχήσαντι Ar.

*τὰ Ἀσσύρια τὰ παλαιὰ γράμματα, οὐχ ἃ Δαρεῖος ὁ πατὴρ Ξέρξου Πέρσαις ἔναγχος ἔγραψεν, θώρακάς τε σιδηροῦς ἐκείνων, ὧν ἔδειξάς μοι, τῶν παρὰ Ἀδμήτου τοὺς ἡμίσεις ἀπόπεμψον, μὴ βραδέως μέντοι, μηδὲ εἰκαίως, μηδὲ ἐκ Κορίνθου ἐνθέμενος, ἀλλὰ τάχιστα ἀποστείλας καὶ κάλλιστα πιστεύσας καὶ πάντοθεν μᾶλλον ἢ Κεγχρέαθεν ἀναγομένῳ τοὺς κομίζοντας ἐπιβήσας σκάφει. ἔρρωσο.*

---

Reliquum est ut qua de caussa hunc libellum emiserimus exponatur. Instat enim proxime solemnitas academica in memoriam IOANNIS AUGUSTI ERNESTII celebranda, viri quum de academia nostra tum de re scholastica apud nos olim egregie meriti, neque eruditionis solum ubertate atque elegantia, verum etiam morum animique candore, severitate, constantia excellentissimi. Huius igitur viri memoriam d. XX. m. Januar. hora X. in auditorio iuridico redintegrabit vir clarissimus atque doctissimus, THEODORUS MOEBIUS, phil. d. et in academia nostra privatim docens, habenda *de arte critica in libris norroenis exercenda* oratione. Ad quam orationem audiendam RECTOREM ACADEMIAE MAGNIFICUM, PROCERES UTRIUSQUE REIPUBLICAE GRAVISSIMOS, COMMILITONES HUMANISSIMOS qua decet observantia invitamus.

P. P. Lips. Dom. II. p. f. Epiphan. a. MDCCCLIX.

---

XXI. 4. *μέντοι* correxi. *μόνον* Ar.

LIPSIAE TYPIS A. EDELMANNI TYPOGR. ACAD.